γνῶσις παρὰ μὲν τοῖς πολλοῖς καὶ εὔκλειαν φέρει· αὐτὸν δὲ τὸν ἐπι
στάμενον ἀσφαλέστερον ἀπεργάζεται· διδάσκει τε μὴ σαλεύεσθαι κενο
φωνίας τινὸς ἐμπεσούσης ἐκλέξεων:+

[illegible]

Ἀκόλουθον οὖν μνημονευτέον ἐστὶν ὅπως ἐπὶ τῶν καιρῶν τοῦ βασιλέως ὁ χρι
στιανισμὸς ἐπλατύνετο· τηνικαῦτα γὰρ ἰνδῶν τε τῶν ἐνδοτέρω
καὶ ἰβήρων τὰ ἔθνη πρὸς τὸ χριστιανίζειν ἐλάμβανε τὴν ἀρχήν. τίνος
δὲ ἕνεκεν τῇ προσθήκῃ τῶν ἐνδοτέρω ἐχρησάμην, διὰ βραχέων ἐρῶ.
ἡνίκα οἱ ἀπόστολοι κλήρῳ τὴν εἰς τὰ ἔθνη πορείαν ἐποιοῦντο, θωμᾶς
μὲν τὴν παρθυαίων ἀποστολὴν ὑπεδέχετο· ματθαῖος δὲ τὴν αἰθιοπίαν· βαρ
θολομαῖος δὲ ἐκληροῦτο τὴν συνημμένην ταύτῃ ἰνδίαν· τὴν μέντοι
ἐνδοτέρω ἰνδίαν ᾗ προσοικεῖ βάρβαρα ἔθνη πολλαῖς διαφόροις χρώ
μενα γλώσσαις, οὐδέπω πρὸ τῶν κωνσταντίνου χρόνων ὁ τοῦ χριστιανισμοῦ
λόγος ἐφώτιζε. τὴν δὲ αἰτίαν τοῦ αὐτοὺς χριστιανίσαι, νῦν ἔρχομαι
καταλέξων. μερόπιός τις φιλόσοφος τῷ γένει τύριος, ἱστορῆσαι
τὴν ἰνδῶν χώραν ἐσπούδασε μάλιστα ζηλώσας πρὸς τὸν φιλόσοφον μητρό
δωρον ὃς πρὸ αὐτοῦ τὴν ἰνδῶν χώραν ἱστόρησε. παραλαβὼν δὲ δύο
παιδάρια ὁ μερόπιος συγγενῆ, ἑλληνικῆς οὐκ ἀμοιροῦντα διαλέκτου,
καταλαμβάνει πλοίῳ τὴν χώραν· ἱστορήσας τε ὅσα ἐβούλετο,
προσορμίζει χρείᾳ τῶν ἐπιτηδείων τόπῳ, λιμένα ἔχοντι ἀσ
φαλῆ. συμβεβήκει δὲ τότε πρὸ ὀλίγου τὰς σπονδὰς διαλελύσθαι
τὰς μεταξὺ ῥωμαίων τε καὶ ἰνδῶν. συλλαβόντες οὖν οἱ ἰνδοὶ τὸν φιλό
σοφον καὶ τοὺς συμπλέοντας, πλὴν τῶν δύο συγγενῶν παιδαρίων,
ἅπαντας διεχρήσαντο· τοὺς δὲ δύο παῖδας οἰκτῶ τῆς ἡλικίας δι
ασώσαντες, δῶρον τῷ τῶν ἰνδῶν βασιλεῖ προσκομίζουσιν. ὁ δὲ ἡσθεὶς
τῇ προσόψει τῶν νέων, ἕνα μὲν αὐτῶν ᾧ ὄνομα αἰδέσιος, οἰνο
χόον τῆς αὐτοῦ τραπέζης καθίστησι· τὸν δὲ ἕτερον φρουμέντιος
ὄνομα αὐτῷ, τῶν βασιλικῶν γραμματοφυλακίων φροντίζειν
προσέταξε. μετ' οὐ πολὺ δὲ τελευτῶν ὁ βασιλεὺς ἐπὶ υἱῷ κομιδῇ νη
πίῳ καὶ γυναικί, ἐλευθέρους τούτους ἀφίησιν. ἡ δὲ γυνὴ τοῦ βασιλέως
υἱὸν ἔχουσα καταλελειμμένον ἐν ἡλικίᾳ μικρᾷ, εἴπερ αὐτοῖς πρό
νοιαν αὐτοῦ ποιήσασθαι, ἄχρις οὗ εἰς ἄνδρα τελέσοι. πεισθέντες οὖν
οἱ νεανίσκοι, πρόνοιαν ποιοῦνται τῶν τοῦ βασιλέως πραγμάτων. φρου
μέντιος δὲ ἦν μάλιστα ὁ διοικῶν σύμπαντα. ἔργον δὲ ἐποιεῖτο τοῦ